# ΙΑΜΒΛΙΧΟΥ
## ΧΑΛΚΙΔΕΩΣ ΤΗΣ ΚΟΙΛΗΣ ΣΥΡΙΑΣ
# ΠΕΡΙ ΤΟΥ ΠΥΘΑΓΟΡΕΙΟΥ ΒΙΟΥ

Ἐπὶ πάσης μὲν φιλοσοφίας ὁρμῇ θεὸν δήπου παρακαλεῖν 1 1
ἔθος ἅπασι τοῖς γε σώφροσιν, ἐπὶ δὲ τῇ τοῦ θείου Πυθα-
γόρου δικαίως ἐπωνύμῳ νομιζομένῃ πολὺ δήπου μᾶλλον
ἁρμόττει τοῦτο ποιεῖν· ἐκ θεῶν γὰρ αὐτῆς παραδοθείσης
τὸ κατ' ἀρχὰς οὐκ ἔνεστιν ἄλλως ἢ διὰ τῶν θεῶν ἀντι-
λαμβάνεσθαι. πρὸς γὰρ τούτῳ καὶ τὸ κάλλος αὐτῆς καὶ τὸ
μέγεθος ὑπεραίρει τὴν ἀνθρωπίνην δύναμιν ὥστε ἐξαίφνης
αὐτὴν κατιδεῖν, ἀλλὰ μόνως ἄν τίς του τῶν θεῶν εὐμενοῦς
ἐξηγουμένου κατὰ βραχὺ προσιὼν ἠρέμα ἂν αὐτῆς παρα-
σπάσασθαί τι δυνηθείη. διὰ πάντα δὴ οὖν ταῦτα παρα- 2
καλέσαντες τοὺς θεοὺς ἡγεμόνας καὶ ἐπιτρέψαντες αὑτοῖς
ἑαυτοὺς καὶ τὸν λόγον ἑπώμεθα ᾗ ἂν ἄγωσιν, οὐδὲν ὑπο-
λογιζόμενοι τὸ πολὺν ἤδη χρόνον ἠμελῆσθαι τὴν αἵρεσιν
ταύτην καὶ τὸ μαθήμασιν ἀπεξενωμένοις καί τισιν ἀπορ-
ρήτοις συμβόλοις ἐπικεκρύφθαι ψευδέσι τε καὶ νόθοις
πολλοῖς συγγράμμασιν ἐπισκιάζεσθαι ἄλλαις τε πολλαῖς
τοιαύταις δυσκολίαις παραποδίζεσθαι. ἐξαρκεῖ γὰρ ἡμῖν ἡ

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415481813/11 UNIVERSITÄT LEIPZIG